Α

## ΣΗΛΥΒΡΙΑΣ ΛΑΥΡΕΝΤΙΟΣ 1628

| |
|---|
| Πατριαρχικὰ Ἔγγραφα |
| Μ. Ι. Γεδεών |
| Κ/πολ. "Ἐκκλησ. Ἀλήθεια" 29 Μαΐου 1889 σ. 176. |

Κύριλλος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης

Δίκαιον ὄντως καὶ λόγου ἄξιον χαρίζεσθαι μεγαλείοις ἀνδράσι καὶ ἐνδόξοις προσώποις, οἷς σκοπὸς ἡ τῶν Χριστιανῶν κοινὴ ὠφέλεια καὶ ἡ διηνεκὴς εἰρήνη. Ἐπεὶ τοίνυν ἔγνωμεν ἀπ' ἀναφορᾶς γενομένης ἡμῖν ὑπ' ἀξιοπίστων ἀνδρῶν καὶ ἐπληροφορήθημεν ὅτι ἐν τῇ νήσῳ τῆς Μήλου, ἔνδον τῆς πόλεως ναός ἐστιν ἐπ' ὀνόματι τιμώμενος τῶν ἁγίων καὶ θαυματουργῶν Ἀναργύρων, ὁ πάλαι ποτὲ ἀρχὴ Ἐλευθερίου, γνωστὸς τοῖς πᾶσι, περὶ οὗ διαφορὰ ἦν ποτε μεταξὺ τῶν δύο Ἐπισκόπων τῆς τε Ἀνατολικῆς Ἐκκλησίας τῆς Κωνσταντινουπόλεως δηλονότι καὶ τῆς Ῥωμαϊκῆς, ἡ τοιαύτη διαφορὰ ἀρθεῖσα κριταὶ διαγινώσκειν ἀποφαινόμενοι ὡς πάντες οἴδασι τὸν ναὸν ἐκεῖνον τῶν ἁγίων Ἀναργύρων δικαίῳ τρόπῳ εἶναι καὶ λέγεσθαι ὑπὸ τὴν διοίκησιν καὶ δεσποτείαν τοῦ κατὰ καιρὸν εὑρισκομένου Ἀρχιεπισκόπου ἐν τῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ ὑποκειμένου, τὸν δὲ Λατῖνον Ἐπίσκοπον μηδὲν ἔχειν δικαίωμα ἐν αὐτῷ, καὶ τοῦτο ἐχέτω ὑπὸ τὴν ἐξουσίαν καὶ δεσποτείαν τοῦ Ἀρχιεπισκόπου.

Τό γε νῦν ἡ μετριότης ἡμῶν ἀκούσασα ἀσφαλιστικῶς καὶ ἐκκλησίας τοῖς ἐν τῇ πόλει τῆς Μήλου εὑρισκομένοις δυτικοῖς Χριστιανοῖς τοῖς Λατίνοις, καὶ περὶ τῆς ἀναφορᾶς ἡμῖν ποιησαμένου τοῦ ἐκλαμπροτάτου καὶ ἐνδοξοτάτου βαΐλου τῆς ~~Γαλ-λιωτάτης~~ καὶ ~~χριστιανικωτάτης~~ καὶ αὐθεντείας τῶν Ἐνετῶν κυρίου Σεβαστιανοῦ Βενιέρου, ἔκρινα δίκαιον καὶ ἄξιον καὶ προσήκον

(ἀκολουθεῖ)

δ' ὅπως ἔχει χρέος, τὸν ἄνωθεν καθιδρυμένον τῶν ἁγίων Ἀναργύρων
ἐᾶσαι ὑπὸ τὴν ἐξουσίαν τοῦ ῥηθέντος εὐγενεστάτου
βαΐλου τῶν Ἐνετῶν, καὶ τῶν αὐτοῦ διαδόχων, ὅπως ἐξουσιάζωσι
καὶ δεσπόζωσιν ἐν αὐτῷ καὶ διοικῶσιν ὡς αὐτοῖς δόξῃ, καὶ ἔχειν
ἄδειαν ἀνεγείρειν καὶ οἰκοδομεῖν ἐν τοῖς τοῦ ναοῦ ὁρίοις ὡς ἐθέλει,
κατὰ τὴν τῶν γαληνοτάτων καὶ χριστιανικωτάτων αὐθεντιῶν τῶν
Ἐνετῶν πρόσταξιν καὶ παραγγελίαν· μὴ ἔχειν δὲ τοῦ λοιποῦ ἀπὸ
τοῦ νῦν τὸν εὑρισκόμενον Ἀρχιεπίσκοπον τῇ ἡμετέρᾳ Ἐκ-
κλησίᾳ μηδὲν δικαίωμα ἐν αὐτῷ· μὴ δύνασθαι ἀμφιλογίαν
τινὰ ποιῆσαι ἐν οὐδενὶ χρόνῳ περὶ τούτου· ὀφεί-
λουσι τοίνυν πάντες οἱ Χριστιανοὶ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ
Ἐκκλησίας τῆς Ἀνατολικῆς οἱ ἐν αὐτῇ τῇ νήσῳ τῆς
Μήλου εὑρισκόμενοι γινώσκειν καὶ γνωρίζειν τὸν ναὸν ἐκεῖνον
τῶν ἁγίων Ἀναργύρων κτῆμα καὶ δεσπότην τὸν ἐκ-
λαμπρότατον καὶ ἐνδοξότατον βαΐλον κύριον
Σεβαστιανὸν τὸν Βένιερ, καὶ τῶν αὐτοῦ διαδόχων αἰωνίως
ὡς ἄνωθεν γέγραπται· μηδενὸς τὸ παράπαν ἐναντιου-
μένων ἱερωμένων ἢ λαϊκῶν ἐν ἀργίᾳ καὶ ἀφορισμῷ..

Ἐν ἔτει ΑΧΚΗ Μηνὶ Ἰουλίῳ Ἰνδικτιῶνος ΙΑ΄.

+ Ὁ Ἡρακλείας Νεόφυτος
+ Ὁ Κυζίκου Παρθένιος
+ Ὁ Χαλκηδόνος Ἰσαάκ
+ Ὁ Ἀδριανουπόλεως Παρθένιος
+ Ὁ Κορίνθου Δανιήλ
+ Ὁ Π. Πατρῶν Θεοφάνης
+ Ὁ Λαρίσσης Γρηγόριος
+ Ὁ Ναυπάκτου καὶ Ἄρτης Γαβριήλ
+ Ὁ Σερρῶν Ἀχίλλιος

+ Ὁ Φιλίππων καὶ Δράμας Ἀβέρκιος
+ Ὁ Σηλυβρίας Λαυρέντιος
+ Ὁ Εὐρίπου Ἰωάσαφ
+ Ὁ Γάνου καὶ Χώρας Ἰωαννίκιος
+ Ὁ Μηδείας Θεοδόσιος
+ Ὁ Ζιχνῶν Δαβίδ
+ Ὁ Ἐλασσῶνος Ἰωάσαφ
+ Ὁ Ἀγαθουπόλεως Μητροφάνης
+ Ὁ Νεαπόλεως Νικηφόρος
+ Ὁ Αἴνου Δωρόθεος
+ Ὁ Διαυλείας καὶ Σαλώνων Δανιήλ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ